Τὴν λόχμην πολλὴν φορεῖς.
Καὶ Μυρωνίδης γὰρ ἦν
Τραχὺς ἐντεῦθεν, μελάμπυ-
γός τε τοῖς ἐχθροῖς ἅπασιν
Ὡς δὲ καὶ Φορμίων.

A CH. M. At siluam densam geris
CH. V. Sic Myronides erat
Horridis ater natibus, sed
Hostibus passim timendus
Vt fuit Phormio.

BISETVS. Μῦθον βούλομαι.] ἐντεῦθεν τινὲς στροφῆς ἐπιγραφὴν γραπτέον οἴονται, ἧς τὸν τελευταῖον στίχον εἶναι λέγουσι,

Τοῦ Μελανίωνος οἱ σώφρονες.

B καὶ τὰ τοιαῦτα εἴδη ὡς Ἡφαιστίων φησιν, ἑτερόστροφά ἐστιν, ἢ ἀλλοιόστροφα. καὶ διαιρεῖται ἤτοι εἰς δύο, ἢ εἰς πλείω. ἐὰν μὲν οὖν εἰς δύο διαιρεθῇ, καλεῖται ἑτερόστροφον. ἐὰν δὲ εἰς πλείονα, ἀλλοιόστροφον Ἄλλως, ἐπειδὴ δῖον, καὶ παρέκβασίς τις, ἐν ᾗ διπλοῦς μῦθος, ὁ μὲν ἐν τῇ στροφῇ, ὁ δὲ ἐν τῇ ἀντιστροφῇ. καὶ ὁ μὲν πρότερος ἔχει τὰ περί τινα νεανίσκον Μελανίωνα τὰς γυναῖκας μισοῦντα, καὶ διὰ τοῦτο ἐν ὄρεσιν οἰκοῦντα, καὶ θήραις χαίροντα. ὁ δὲ δεύτερος μνήμην ποιεῖται περὶ Τίμωνος τοῦ τοὺς πονηροὺς ἄνδρας μισοῦντος, καὶ ταῖς γυναιξὶν ὄντος φιλτάτου. ἐν τισὶ τῶν ἀντιγράφων φανερῶς γέγραπται Στροφὴ, πρὸ τούτου τοῦ πρώτου κώλου,

Μῦθον βούλομαι λέξαι.

καὶ Ἀντιστροφὴ, πρὸ τούτου τοῦ κώλου,

Κἀγὼ βούλομαι,

Ἀλλ' ἐν τούτοις ἀσάφειάν τινα ἔχομεν, ὅτι τὰ κῶλα τῆς ἀντιστροφῆς, τὰ μέτρα, τὸ σχῆμα, καὶ ἡ ποιότης οὐ καλῶς τοῖς τῆς στροφῆς κατὰ πάντα συμφωνεῖ. Κἆτ' ἐλαγοθήρει.] καὶ εἶτα ἐλαγοθήρει. τουτέστι τοὺς λαγοὺς, εἴτε λαγὼς, καὶ λαγωοὺς ἐθήρα. ἀπὸ τοῦ ῥήματος λαγοθηρέω. Ὑπὸ μίσους.] τῶν γυναικῶν δηλαδὴ, καὶ τῶν γάμων. ἐβδελύχθη δὲ, ἐμυσάττετο, ἐμίσει, ἀπεστρέφετο. Βούλομαί σε.] καὶ ταῦτα ὡς ἐπῳδὸν, τῇ στροφῇ ἐπιφέρεσθαι νομίζουσι. Οὐκ ἔδει.] τὸ ἔδει, δεύτερον πρόσωπον Ἀττικῶς γραφόμενον. κοινῶς δὲ, ἔδῃ, τουτέστιν ἔδεις, κατεσθίεις. ὁ δὲ Πρόβουλος, ἤ τις ἐκ τοῦ χοροῦ λέγει τὴν γραῦν οὐ φαγεῖν κρόμμυον, ὅτι κακὴν ὀσμὴν τοῦτο ἐσθιόμενον ποιεῖ. διὸ αἱ περὶ τὸν καλλωπισμὸν, καὶ τὸ κομψὸν σπουδάζουσαι, καὶ αἱ κύσαι βουλόμεναι, τῶν κρομμύων, καὶ πάντων δυσωδῶν ἀπέχονται. λακτίσαι δὲ, νῦν δηλοῖ τὸ λὰξ, ἢ λακτισμῷ πλῆξαι. τοῦτο δὲ γέλωτος χάριν πρὸς τὴν γραῦν λέγεσθαι φαίνεται. Τὴν λόχμην.] τινὲς τοῦτο προσάπτουσι τῷ χορῷ τῶν γυναικῶν. καὶ τοὺς ἑξῆς τέτταρας στίχους τῷ Προβούλῳ, εἴτε τῷ τῶν ἀνδρῶν χορῷ. ὃ καὶ ἀξιόπιστον. λόχμην δὲ πολλὴν φορεῖς, ὁ Σουίδας παροιμίαν εἶναι λέγει ἀντὶ τοῦ τιλθήσῃ. ἦν δὲ, φησὶν, ὁ Φορμίων τριχώδης ὢν, καὶ πυγὰς μελαίνας εἶχε. λόχμη δὲ, δασὺς τόπος, πλαγία σύμφυτος, καὶ λοχμώδης. νῦν δὲ μεταφορικῶς λόχμην καλεῖ τὸ πλῆθος τῶν τριχῶν. Καὶ Μυρωνίδης.] Μυρωνίδης, καὶ Φορμίων δύο Ἀθηναίων στρατηγοὶ, ἀγαθοί τε, καὶ αὐστηροί. μελάμπυγος δὲ, ἀνδρεῖος τοὺς γὰρ δασεῖς καὶ μελαίνας τὰς πυγὰς, ἀνδρείους ἐνόμιζον, τοὺς δὲ λευκοπύγους, ὡς γυναικώδεις, καὶ ἀνάνδρους ἐκωμῴδουν. ὡς Σουίδας καὶ Ἡσύχιος λέγουσι.

C CHR. Μελανίωνος.] Prouerbium est μελανίωνος σωφρονέστερος. Fortassis ille est Milanion de quo Propertius dixit,

Partheniis errabat in antris,
Ibat & hirsutas sępè videre feras.

Sed quòd ait de leporum captura, crediderim adlusum ad Aquilæ speciem illam quæ μελαναίετος & λαγοθήρας dicitur. Lege autem κἀν τοῖς ὄρεσι pro καὶ ἐν. Βούλομαι.] Hic versus in Veneta editione profertur à choro virorum, vt D sequens à choro mulierum, tertius à virorum choro, quartus à mulierum, quintus à virorum vsque ad illa κἀγώ. Κρόμμυον γάρ.] Id est, καὶ ἄνευ κρομμύων κλαύσεις, legóque τἄρ pro γάρ. Prouerbium est κρομμύου ὀσφραίνομαι, & κρόμμυα ἐσθίειν, vnde Bias cùm ab Alyatte accerseretur, dixit, Ἀλυάττῃ φημὶ κρόμμυα ἐσθίειν. Λοχμὴν πολλήν.] Id est, barba tibi velletur quam nimis densam gestas, hoc prouerbiale facit Sudas, aitque Phormionem E pilosum & hirsutum fuisse, & nates nigras habuisse, alibi Imperatorem strenuum & Crotoniatem facit de quo meminerit Theopompus. Existimabant autem fortes & viros τοὺς μελαμπύγους & δασυπύγους, nam pili nigredinem videntur facere, Contra imbelles & fœmineos τοὺς λευκοπύγους. Apud eundem Sudā, atq; Athen. reperias φορμίσιον δασυνθρίξ, καὶ αἰνίττεσθαι τὸ γυναικεῖον αἰδοῖον.

F

## ΑΝΤΙΣΤΡΟΦΗ.

Χο. Γυν. Κἀγὼ βούλομαι
Μῦθόν τιν' ὑμῖν ἀντιλέξαι
τῷ Μελανίωνι.
Τίμων τις
Ἦν ἀΐδρυτος ἀβάτοισιν ἐν
Σκώλοι-
σι τὸ πρόσωπον περιειργμένος
Ἐρινύων ἀπορρώξ.
Οὗτος οὖν ὁ Τίμων
Ὤχεθ' ὑπὸ μίσους
Πολλὰ καταρασάμενος ἀνδράσι πονηροῖς.
Οὕτω

## ANTISTROPHE.

CH. M. Atqui fabulam vobis
Libet narrare contrà
Hunc Melanionem.
Vir Timon
Ardua & obsita colebat loca
Spinis
G Malè sedens septus & vndique
Erinnydum propages:
Solus ergo Timon
Vixit, odioque
Magno homines oderat abominans scelestos;
Sicque